R RA in-8° 690 SORBONNE

UNIVERSITÉS DE PARIS
BIBLIOTHÈQUE DE LA SORBONNE
13, RUE DE LA SORBONNE - 75257 PARIS CEDEX 05
TEL : 01 40 46 30 27 - FAX : 01 40 46 30 44

Inv. :

SIGB bibl. :

SIGB ex. :

SU ppn :

SU epn :

Cote : RRA 8= 690

1157208829

RRA 8= 690

A1950817

# ΠΕΡΙ ΔΙΑΛΕ-
## ΚΤΩΝ ΤΩ͂Ν ἸΏΝΩΝ.

# De Ionum dialectis.



PARISIIS,

Apud Christianum wechelum sub scuto Basiliensi, in vico Iacobæo. M. D. XLIIII.

SORBONNE

*fabius lib. primi cap. 9.*

# ΠΕΡΙ ΔΙΑΛΕΚΤΩΝ

## ἘΚ ΤΩ͂Ν ἸΩΆΝ. ΓΡΑΜΜΑΤΙΚΟΥ͂ ΤΕΧΝΙΚΩ͂Ν.

Διάλεκτός ἐστι γλώττης ἰδίωμα. εἰσὶ δὲ διάλεκτοι πέντε, ἀτθὶς, δωρὶς, αἰολὶς, ἰὰς, κοινή. καὶ ἀτθὶς μὲν ἐκλήθη ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός. αἰολὶς δὲ ἀπὸ αἰόλου τοῦ ἕλληνος. δωρὶς δὲ ἀπὸ δώρου τοῦ ἕλληνος. ἰὰς δὲ ἀπὸ ἴωνος τοῦ ξύθου τοῦ ἕλληνος καὶ κρεούσης τῆς ἐρεχθέως θυγατρός. κοινὴ δὲ ἐκ τῶν τεσσάρων συνεστῶσα. ἔχει δὲ ἑκάστη διάλεκτος οἰκεῖον ἰδίωμα.

*Legendum ξούθου*

### ἙΤΈΡΩΣ ΠΕΡῚ ΔΙΑΛΈΚΤΩΝ.

Διάλεκτός ἐστι λέξις ἴδιον χαρακτῆρα τόπου ἐμφαίνουσα. ἢ, λέξις ἴδιον ἢ κοινὸν ἐμφαίνουσα χαρακτῆρα. διάλεκτοι δέ εἰσιν, εἰ καὶ τὴν κοινήν τις καταριθμοίη, πέντε, ἰὰς, ἀτθὶς, δωρὶς, αἰολὶς, κοινή. ἡ γὰρ πέμπτη ἴδιον οὐκ ἔχουσα χαρακτῆρα, κοινὴ ὠνομάσθη, ἤτοι ὅτι τοῖς κοινῇ τῶν πασῶν χαρακτῆρσι χρῆται, ὡς ἐκ τῶν τεσσάρων καθέστηκεν· ἢ ὅτι κοινῶς αὐτῇ πάντες χρῶνται· ἢ διότι ἐκ ταύτης ἄρχονται, ὡς ταύτης οὔσης πασῶν. ἀναπεμπτέον δὲ ταύτην μὲν ὡς πρὸς κανόνα, τὰς δὲ λοιπὰς πρὸς ἰδιότητα. τὰς μὲν οὖν βαρβάρους ἐν πλήθει οὔσας καὶ ἀπεριλήπτους, οὐκ ἔστι ῥᾴδιον παραδοῦναι, ἄλλως τε οὐδὲ λεκτέον αὐτὰς διαλέκτους, ἀλλὰ γλώσσας. τὰς δὲ ἑλληνικὰς συνέβη καλεῖσθαι, ὡς ἕλληνος τοῦ διὸς μὲν υἱοῦ, κατ' ἐπίκλησιν δὲ δευκαλίωνος, τοῦ κατὰ τὴν ἑλλάδα τόπους κατῳκηκότος, πάσας μὲν συνέβη λέγεσθαι ἑλληνικὰς φωνὰς, κατ' εἶδος δὲ τὰς προσωνυμίας ἀπὸ τῶν ἐκείνου παίδων λαβεῖν. διασπαρέντων γὰρ τούτων εἰς πλείονας τόπους, καὶ τὴν αὐτὴν φωνὴν οὐκ ἔτι φυλαξάντων, ἀλλὰ τῇ τῶν τούτων μεταβολῇ ἅμα καὶ τὴν φωνὴν μεταβαλλόντων, συνέβη διαλέκτους λέγεσθαι. ἀπὸ μὲν οὖν δώρου τοῦ δευκαλίωνος καὶ πύῤῥας παιδὸς, μετοικήσαντας εἰς τὴν

*Bono ordine primi enim et antiquissimi fuerunt Jones*

*vel articulus τῇ delendus vel legendum τόπον.*

*Legendum μετοικήσαντος*

Legendum ἀσωπὸν

περὶ τὸν παρνασσὸν τόπους καὶ αἰσωπὸν, δωριεῖς ἀπ' αὐτοῦ προσαγορευθῆναι πάντας συνέβη. καὶ τὴν διάλεκτον δωρίδα, ἧ πάνυ χρῶνται ῥόδιοί τε καὶ κρῆτες, καὶ πελοποννήσιοι, καὶ σικελοί, καὶ λίβυες, καὶ οἱ τὴν παλαιὰν ἤπειρον οἰκοῦντες. Ἀπὸ δὲ αἰόλου τοῦ ἕλληνος παιδὸς καὶ πύῤῥας αἰολὶς ἐκλήθη. οὗτος γὰρ δέκα πόλεις κτίσας τήν τε χώραν αἰολίαν, καὶ τὴν διάλεκτον αἰολίδα προσηγόρευσεν. Ἡ δὲ ἰὰς ἀπὸ ἴωνος τοῦ ξούθου τοῦ ἕλληνος καὶ κρεούσης τῆς ἐρεχθέως παιδὸς ἐκλήθη. οὗτος γὰρ δοκοῦσαν τῇ ἀτθίδι τὴν αὐτὴν εἶναι διάλεκτον, μεταναστὰς, καὶ κτίσας πόλεις ιγ. ἀφ' ἑαυτοῦ ἰάδα προσηγόρευσεν. αἱ δὲ πόλεις αὗται, κλαζομεναὶ, λέβεδος, φωκαία, πριήνη, μίλητος, μυκάλη, ἐρυθραὶ, τέος, σάμος, κολοφὼν, ἔφεσος, χίος, σμύρνα. Ἀτθὶς δὲ ἐκλήθη, ἤτοι ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρὸς (ἐγένετο δὲ οὗτος τῆς ἀττικῆς βασιλεὺς) ἤτοι ἐκλήθη οὕτως ἀπὸ τοῦ παράκτιος εἶναι ἀττική τις οὖσα. Νοεῖται δὲ ἡ διάλεκτος τριχῶς, κατὰ ὅλου ὀνόματος ἐπαγωγὴν, κατὰ μέρος τι, κατὰ συμβεβηκός. κατὰ ὅλου ὀνόματος ἐπαγωγὴν οὕτως, ὡς οἱ αἰολεῖς τὸ γυναικεῖον ἔνδυμα, καταγογὴν καλοῦσιν. οἱ δὲ ἀττικοὶ τὴν ἐφ' ἡμῶν τήλιαν, ἀλειφότησιν καλοῦσιν, καὶ τὰ ὅμοια. κατὰ δὲ μέρος τι, ἤτοι κατὰ πρόσθεσιν, ὡς οἱ αἰολεῖς τὰ ῥόδα, βρόδα λέγουσι. ἢ κατὰ ἀφαίρεσιν, ὡς οἱ δωριεῖς, τὸ φέρειν καὶ λέγειν, φέρεν καὶ λέγεν λέγουσι. ἢ κατὰ μετάθεσιν, ὡς δίφρον δρίφον λέγουσι. κατὰ δὲ τὸ συμβεβηκὸς, ἤτοι κατὰ προσῳδίαν, ἢ κατὰ πνεῦμα λεγόμενον παρ' ἡμῖν, ἀλλοιοῦσι. κατὰ μὲν προσῳδίαν θέλουσιν, ἀττικοὶ μὲν, ἱκάνω, ἵκανον. ἐλαύνω, ἔλαυνον. δωριεῖς δὲ τὸ πάντως παντῶς λέγουσι, καὶ οὕτως οὑτῶς, καὶ τὰ ὅμοια, ἅτινα διαιροῦμεν τοῖς ἰδιώμασι τῶν κατὰ μέρος διαλέκτων. κατὰ δὲ πνεῦμα, ὡς ἀττικοὶ τὸ παρ' ἡμῖν ἥκιστα ψιλοῦς ὂν, αὐτοὶ δασέως προφέρονται.

hac lingua scripsit Bucolica Theocritus.

## ΠΕΡΙ ἸΑΔΟΣ ἘΚ ΤΩΝ ΤΟΥ ΑΥΤΟΥ.

ἰὰς δέ ἐστιν, ᾗ κέχρηνται ἴωνες. δοκεῖ δὲ ἀρχαίαν εἶναι αὐτοῖς. ἴδιον δὲ αὐτῆς ἐστιν, ἀντὶ τοῦ α τῷ η κεχρῆσθαι, καὶ τὰς περισπωμένας συλλαβὰς εἰς δύο διαιρεῖν, καὶ ἀντὶ τοῦ π τὸ κ λαμβάνειν, καὶ ἀντὶ τῶν δασυνουσῶν συναλοιφῶν, ψιλότητας ἐκφέρειν, καὶ ἐπί τινων λέξεων τὸ ι ὑπεξαιρεῖν. χρῶνται μὲν οὖν τῷ η ἀντὶ τοῦ α, οἷον θύρην ἀντὶ τοῦ θύραν, καὶ ἡμέρην ἀντὶ τοῦ ἡμέραν, καὶ ὠφελείην ἀντὶ τοῦ ὠφέλειαν. τὰς δὲ περισπωμένας συλλαβὰς εἰς δύο διαιροῦσιν. ἀντὶ τοῦ ποιεῖν γάρ, ποιέειν λέγουσιν. ἀντὶ τοῦ π τὸ κ λαμβάνουσι. τὸ γὰρ πῶς, κῶς λέγουσιν. ἀντὶ τῶν δασυνουσῶν συναλοιφῶν ψιλότητας ἐκφέρουσιν, ὅταν λέγωσιν ἀντὶ τοῦ ἐφίππων, ἐπίππων, καὶ ἐφορᾶν, ἐπορᾶν. ἐπὶ δέ τινων λέξεων τὸ ι ὑπεξαιροῦσιν, ἀντὶ τοῦ ποιεῖσθαι ποιέεσθαι λέγοντες. ἰὰς δὲ ἀπὸ ἴωνος τοῦ ἀπόλλωνος καὶ κρεούσης τῆς ἐρεχθέως θυγατρός.

## ΠΕΡΙ ΤΗΣ ΑΥΤΗΣ ΚΑΤΑ ΜΕΡΟΣ ΕΚ ΤΩΝ ΚΟΡΙΝΘΟΥ.

Τὰς εἰς ας ληγούσας εὐθείας τὰς ὑπὲρ δύο συλλαβὰς εἰς ης ἐκφέρουσιν οἱ ἴωνες. Ἡρόδοτος. ὁ δὲ ἀρχίης καὶ λυκώπης μοῦνοι συμπεσόντες. Ταῖς δοτικαῖς τῶν πληθυντικῶν ταῖς ληγούσαις εἰς οις προστιθέασι τὸ ι. Ἡρόδοτος, τοῖσι σαμίοισι.

Τὸ κλεισθέντες κληϊσθέντες λέγουσι, καὶ τὸ πλειάδεω πληϊάδεω. διαλύουσι γὰρ τὴν δίφθογγον εἰς ε καὶ ι, εἶτα ἐκτείνουσι τὸ ε εἰς τὴν η συλλαβὴν, ὥσπερ τὸ ἱρεῖον ἱρήϊον λέγουσι.

Τὰς εἰς ων ληγούσας γενικὰς τῶν πληθυντικῶν θηλυκῶν, οἷον ὡρῶν, θηβῶν, πυλῶν. ὡρέων καὶ θηβέων καὶ πυλέων λέγουσιν. Ὅμηρος. ὡς εἰπὼν πυλέων ἐξέσυτο. καὶ ἱπποκράτης. αἱ μεταβολαὶ τῶν ὡρέων τίκτουσι νοσήματα.

Ἀλλὰ καὶ τὰς τῶν ἀρσενικῶν ὁμοίως γενικὰς τὰς ἐκ τῶν εἰς ης εὐθειῶν γινομένας, διὰ τοῦ εων προφέρουσι, περσέων λέγοντες καὶ νησιωτέων. Ἡρόδοτος ἐν τῇ τρίτῃ, κατ' ἀρχὰς νησιωτέων μάλιστα ἐπλούτεον.

Ταῖς δοτικαῖς τῶν πληθυντικῶν τῶν θηλυκῶν ὀνομάτων οὐ μόνον τὸ ι προστιθέναι εἰώθασιν, ὡς ἐν ταῖς δοτικαῖς τῶν πληθυντικῶν ἀρσενικῶν ὀνομάτων, ἀλλὰ καὶ τὴν αι δίφθογγον τρέπειν τὸ α εἰς η εἰώθασιν, ὡς Ἱπποκράτης. ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη, πρόσθεν μὴ γινομένη, σημεῖον ἀγαθόν. Τὰς εἰς ου ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ας ἢ εἰς ης εὐθειῶν γινομένας, διὰ τοῦ εω προφέρουσιν, ἀπὸ μὲν τῶν εἰς ας. Ἡρόδοτος. τείπω δ' ἀπ' ἀρχίεω γεγονότι, ἀντὶ τοῦ ἀπ' ἀρχίου. ἀπὸ δὲ τῶν εἰς ης, ἀτρείδεω δαΐφρονος.

Τοῖς ὑποτακτικοῖς ἄρθροις τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις προστιθέασι τὸ τ οἱ Ἴωνες, ὡς παρ' Ἡροδότῳ. αὐτὸς μὲν ἐπὶ τόνους συνεχομένῳ δήμου τοῦ τὸν, ἀντὶ τοῦ ὃν τὸν. καὶ ἀλλαχοῦ. τοῖς ἐντολὰς ἔχουσιν, ἀντὶ τοῦ οἷς. Τῷ ε προστιθέασι τὸ ι, ὡς τὸ, χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν. καὶ, εἴ μοι ξείνια δοίη. εἰνάλιος θὴρ, ἀντὶ τοῦ ἐνάλιος. Τῷ ο ἐπιβάλλουσι τὸ υ. κόρη κούρη, νόσος νοῦσος, ὄρος οὖρος, μόνος μοῦνος. εἴποι τις οὖν, πῶς τὸ πόνος καὶ φόνος οὐ προσλαμβάνει τὸ υ, οὐ γὰρ λέγουσι ποῦνος, φοῦνος; λέγομεν οὖν ὅτι ἀπὸ ῥημάτων τοῦ πονῶ καὶ φονῶ παρήχθησαν. τὸ δὲ μόνος καίτοι ἀπὸ ῥήματος παραχθὲν, ἐπεὶ τριγενές ἐστι, προσλαμβάνει τὸ υ.

Τὸ α εἰς η τρέπουσιν. ἥρα ἥρη, σφαῖρα σφαίρη, δημοσία δημοσίη. πρᾶγμα πρῆγμα. Τὰς εἰς ους ληγούσας γενικὰς, διὰ τοῦ εος προφέρουσιν, ὡσαύτως καὶ τὰς ἄλλας πτώσεις οὐ συνῃρημένας, ἀλλ' ἐντελεῖς ποιοῦσι, πολυκράτεα καὶ δημοσθένεα λέγοντες. Τὸ πολλὸν λέγουσιν, οὐχὶ τὸ πολύ. καὶ ὁ πολλὸς, οὐχὶ πολύς. τὴν εἰς πρόθεσιν ἐς λέγουσιν ὁμοίως τοῖς ἀττικοῖς.

Τοῖς ἐνεστῶσιν ὁμοίως καὶ τοῖς παρατατικοῖς καὶ ταῖς μετοχαῖς τῶν περισπωμένων, καὶ, ἁπλῶς εἰπεῖν, πάσαις ἐγκλίσεσιν ἐντελῶς κέχρηνται, ὡς ἐν τοῖς ἀνακρεοντείοις. δοκέει, κλύειν γὰρ ἤδε λαλέειν τὶς ἐθελήσει. καὶ ἐν τῷ χρησμῷ. καὶ

οὐ

οὐ λαλέοντος ἀκούω. τὸ ὁράω ὁρέω λέγουσι, τὸ α εἰς ε τρέποντες, καὶ τὸ ἐχράον, ἐχρέον. τὸ ὧν ἀντὶ τοῦ οὖν λέγουσι. Ἡρόδοτος. ὡς ὧν φασι πολέες. τὸ ὦ, ὃ σημαίνει τὸ ὑπάρχω, ἔω λέγουσι. ὡς Ὅμηρος. ὃς ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα. τὰ ψιλὰ ἀντὶ δασέων ἀπάζονται, ἀπηλιώτην λέγοντες καὶ ἀπίκοντο. οὐ μόνον δὲ ἐν ταῖς συνθέσεσι μόνον, ἀλλὰ καὶ ἐν ταῖς συναλοιφαῖς. Ἡρόδοτος. οὐκ οἷοί τε ἦσαν. τὰς νῆας νέας λέγουσι. τὰς εἰς ος γενικὰς τὰς ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένας, διὰ τοῦ ηος προφέρουσι, βασιλῆος λέγοντες καὶ πηλῆος. τὰς εἰς ου ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας, διὰ τοῦ οιο προφέρουσι, μενελάου μενελάοιο, θείου θείοιο. τὰς εἰς ος ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ις εὐθειῶν γινομένας, διὰ τοῦ εος προφέρουσιν, ὄφις ὄφεος λέγοντες διὰ τοῦ ο μικροῦ, πρέσβυς πρέσβεος, μάντις μάντεος, καὶ πόλις πόλεος, ὡς ἐν ὄρεσιν Εὐελπίδης, ὃς ἂν διώκῃ πόλεος ἐν τ' ἀρχαῖσιν ᾖ. καὶ ἔστιν ὁ τρίτος πούς δάκτυλος, ὁ δὲ τέταρτος ἴαμβος. καὶ πάλιν ἐν ἄλλῳ δράματι, ἔπαιρ' ὄφεος ἐν γαίᾳ δέρος. Εἰώθασι συναρχομένους ποιεῖν τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, ἐξ ὧν καὶ ἐγένοντο. οἷον, τύπτε δ' ἐπιστροφάδην. ἄορι θεῖνε. βῆ δ' ὁ γέρων. θῆκε δ' ἐπὶ φρεσὶ θεὰ λευκώλενος Ἥρη. ξανθὰς δ' ἐκ κεφαλῆς ἔλε τρίχας. καὶ τό, καλὸν δ' οὕτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσι, οὐδ' οὕτω γεραρόν. καὶ τό, τοιοῦτοι εἴπερ μοι ἐείκοσιν ἀντιβολήσαιεν, πάντες καὐτόθ' ὄλοιντο. πρὸς δὲ ὡς, νή με δεξάμενος πηλεὺς τρέφεν ἐνδυκέως. καὶ, σὸν θεράποντ' ὀνόμηνε. καὶ τό, ἔνθ' ὀδυσῆα ἐγὼν ἴδον μιν, καὶ ξείνια δῶκα. ὡς καθόλου εἰπεῖν, αἱ συστολαὶ τῶν ἰώνων εἰσίν. ὡς τό, νέας ἀμφιελίσσας, ἀντὶ τοῦ νῆας. καὶ ὄφεος, καὶ πόλεος, ὥσπερ αἱ ἐκτάσεις τῶν ἀττικῶν, ὡς τό, πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής. καὶ, οὐδέποτ' ἐς ἀγορὴν πωλέσκετο κυδιάνειραν.

οἶμαι

οἶμαι δ' ὅτι καὶ τὸ εὐωχία ἀττικῶς ἐκτείνεται, καὶ γράφεται διὰ τοῦ ω μεγάλου. οὐχὶ γὰρ λέγεται ἡ τροφὴ, καὶ εὐωχία ἡ εὖ ἔχουσα τὸ σῶμα καὶ συγκρατοῦσα. καὶ τὰ δεύτερα πρόσωπα τῶν ἀττικῶν παθητικῶν ποιοῦσιν ἐκ τοῦ τρίτου προσώπου τῶν ἀττικῶν, κατ' ἀποβολὴν τοῦ τ. ὅμηρος. γνώσεαι ἀτρείδην ἀγαμέμνονα τὸν περὶ πάντων ζεὺς ἐνέηκε πόνοισι διαμπερές. καὶ αὖθις, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων, σὴν ἔδεαι κραδίην; ὡσαύτως καὶ τὰς ἀπὸ τῶν εἰς ας εὐθειῶν οὐδετέρων ὀνομάτων διὰ τοῦ τος κλινομένων, καθ' ἀποβολὴν τοῦ τ, κέραος, γήραος λέγοντες. τό τε πλεονάζει παρ' αὐτοῖς καὶ παρέλκει, ὡς Ἡρόδοτος. ἐπεί τε ἐγένετο ταῦτα, ἀντὶ τοῦ ἐπεί. τὰς εἰς ους ληγούσας γενικὰς τῶν οὐδετέρων διὰ τοῦ εος προφέρουσι. καὶ πᾶσαν δὲ πτῶσιν τῶν τοιούτων ἐντελῶς προάγουσιν. οἷον τείχεος, βέλεος. καὶ, ἕκτορα δ' ἐκ βελέων ὕπαγε ζεύς. τῷ κ ἀντὶ τοῦ π ἐν τοῖς ἐρωτηματικοῖς καὶ ἀναφορικοῖς κεχρῆσθαι εἰώθασιν. οἷον πόσα κόσα, ὅπως ὅκως, ὁπόσα ὁκόσα. οὐ μὴν ἐν τοῖς ἄλλοις. τρέπουσι δὲ καὶ τὰ δασέα εἰς ψιλά, καὶ τὰ ψιλὰ εἰς δασέα. οἷον χιτὼν κιθὼν, ἀκάνθιον ἀχάντιον, καὶ βάτραχος βάθρακος, καὶ τὰ ὅμοια.

τῷ ω ἀντὶ τοῦ α εἰώθ' ὅτε χρῆσθαι αὐτοὺς λέγουσιν, ὤνθρωπον τὸν ἄνθρωπον, καὶ τὸ ἄριστον ὤριστον. ἐγὼ δὲ οἶμαι ἐκ συναλοιφῆς οὐδὲ μόνων τῶν εὐθειῶν τοῦτο ποιεῖν αὐτοὺς, καὶ οὐδὲ τῶν κλητικῶν, ὥσπερ καὶ οἱ ἀττικοὶ ποιοῦσιν. αὐτίκα Ἡρόδοτος ἐπὶ τῆς κλητικῆς οὕτω φησίν. ὤνθρωπε μὴ κτεῖνε κροῖσον. καὶ αὖ ἀλλαχοῦ. ὦναξ ἡράκλεις, ἀντὶ τοῦ ὦ ἄναξ. καὶ Σοφοκλῆς. Ἀλλὰ γὰρ ὦναξ οὐδ' ὃς ἂν βλαστῇ μένει νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται. καὶ ὅμηρος, λοισθὸς ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους, ἀντὶ τοῦ ὁ ἄριστος. τὸ γὰρ ω καὶ α εἰς ω μέγα κιρνᾶται ἢ συναλείφεται. καὶ τὸ ο καὶ α εἰς ω μέγα κιρνῶσιν, ὡς τὸ βόαξ, βῶξ. καὶ τὸ αο εἰς ω μέγα κιρνᾶται,

οἷον

οἷον τὰ ὅπλα θ' ὧπλα. καὶ ἐπειδὴ τὸ ὅπλον δασύνεται, τρέπεται τὸ τ εἰς θ. τοῦτο δὲ ἀττικόν ἐστιν. εἰ γὰρ ἦν ἰωνικόν, οὐκ ἂν ἐτράπη, ἐπεὶ τοῖς ψιλοῖς χαίρουσιν ἴωνες. τῷ ω ἀντὶ τοῦ αυ τῇ διφθόγγῳ χρῶνται, ὠῦτος λέγοντες ἀντὶ τοῦ αὐτός, καὶ θωϋμάσας ἀντὶ τοῦ θαυμάσας. ἐντεῦθεν οἶμαι καὶ τὸ φωριαμὸς ἰωνικῶς οὕτω λέγεσθαι φαριαμός, ὡς ἀπὸ τῆς ἐτυμολογίας, ἡ τὰ φάρεα περιέχουσα κιβωτός. τὸ τέμνειν καὶ διαιρεῖν τὰς λέξεις ἰώνων ἴδιον. ἀντὶ γὰρ τοῦ εἰπεῖν πελοπόννησος, πέλοπος νῆσος λέγουσι. καὶ ἀντὶ τοῦ εἰπεῖν αἴγαγρον, αἶγα ἄγριον.

Αἱ παραλήψεις τῶν ἀπαρεμφάτων ἀντὶ προστακτικῶν ἰώνων εἰσίν. ὅμηρος. πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν, ἀντὶ τοῦ ἀγόρευε. καὶ, πειρᾶν δ' ὥς κεν πρῶτας ὑπερκύδαντας ἀχαιοὺς, ἀντὶ τοῦ πειρῶ. καὶ μυρία ἄλλα τοιαῦτα παρ' ὁμήρῳ καὶ ἡσιόδῳ εὑρήσομεν. Αἱ παραλήψεις τῶν ἀρσενικῶν ἀντὶ θηλυκῶν, ἰώνων εἰσίν. ὡς τὸ, τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν, ἀντὶ τοῦ ἑσπέρα. Αἱ διαιρέσεις τῶν εἰς ει ληγόντων ἑνικῶν δοτικῶν ἰώνων εἰσὶν ἴδιαι, βέλεϊ βέλει, καὶ ἔγχεϊ ἔγχει. τὰ εἰς ω λήγοντα θηλυκὰ ἐπὶ αἰτιατικῆς εἰς ουν περατοῦσιν. οἷον λητὼ λητοῦν, σαπφὼ σαπφοῦν. τὸ ι ἐξαιροῦσιν οἱ ἴωνες διὰ τὸ τῆς λέξεως. τὸ γὰρ ποιεῖσθαι ποιέεσθαί φασιν. ἐφθάσαμεν εἰπόντες ὅτι τῶν ἰώνων ἐστὶ, τὸ γράφειν καὶ τὸ λέγειν ὄφεος καὶ πόλεος. νῦν δέ φαμεν ὅτι καὶ ταῖς κοιναῖς αὐτῶν γενικαῖς χρῶνται οἱ ἴωνες, καὶ μάλιστα ὅμηρος. ἐξ ἀγροῦ νόσφι πόλιος. καὶ ἱπποκράτης. ὑπὸ φθίσιος ἐχομένῳ διάρροια ἐπιγινομένη θανάσιμος.

Αἱ ἐπαναδιπλώσεις τῶν δευτέρων ἀορίστων ἰώνων εἰσίν. ὡς τὸ, τετύκοντό τε δαῖτα. τῇ μεταθέσει τῶν στοιχείων ἰὰς χρῆται, οἷον κραδίην, ἀντὶ τοῦ καρδίαν. ἀτραπὸς, ἀντὶ τοῦ ἀταρπιτός. τὸ δὲ διπλοῦν σσ εἰς ξ τρέπουσιν ἴωνες, τὰ δισσὰ γὰρ διξά, καὶ τὰ τρισσὰ τριξὰ λέγουσι.

τὸ ι ὑπεξαιροῦσι πολλάκις τῆς λέξεως. αὐτίκα, Ἡροδότου Ἁλικαρνασσῆος ἱστορίης ἀπόδεξις, ἀντὶ τοῦ ἀπόδειξις. Ἀλλὰ καὶ τὸ ὑπεξαιρεῖν τῶν κτητικῶν ει, τῶν ἰώνων ἐστίν. οἷον ἀργύρεος χρύσεος. Ὅμηρος. Ἑκτόρεόν τε χιτῶνα περὶ στήθεσσι δαΐξαι.

Τὰς εἰς ες ληγούσας εὐθείας τῶν πληθυντικῶν, εἰ μὲν ἀπὸ τῶν εἰς ευς εὐθειῶν γίνονται, διὰ τοῦ ηες ἐκφέρουσι, βασιλῆες, ἱππῆες, διότι καὶ τὴν γενικὴν οὕτω προφέρουσιν. εἰ δὲ ἀπὸ τῶν εἰς ης ἢ εἰς υς, διὰ τοῦ ε, οἷον ἀληθὴς ἡ εὐθεῖα τῶν ἑνικῶν, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν παρ' ἡμῖν μὲν ἀληθεῖς διὰ τῆς ει διφθόγγου, ἰωνικῶς δὲ ἀληθέες, καὶ πάλιν πολὺς πολέες. ὡς τὸ, πολέες δέ μιν ἠρήσαντο φέρειν, καὶ ὀξέες ἧλοι.

Διαπορήσειε δ' ἄν τις, πῶς τὰς γενικὰς τὰς ἀπὸ τῶν εἰς υς εὐθειῶν οὐ προφέρουσι διὰ τοῦ ηος. οἷον ἡδῆος, ὀξῆος, ὥσπερ βασιλῆος καὶ οἰκῆος; ἔστιν οὖν εἰπεῖν, ὅτι οὐδέποτε ἡ παραλήγουσα τῆς γενικῆς μείζων θέλει εἶναι τῆς ληγούσης τῆς εὐθείας ἐπὶ τῶν περιττοσυλλάβως κλινομένων, οἷον Αἴας, ἡ εὐθεῖα τὸ ας ἔχει φύσει μακρόν. ἡ δὲ Αἴαντος γενικὴ θέσει μακρὰν ἔχει τὴν παραλήγουσαν. ἀλλὰ καὶ ἡ Λάχητος φύσει μακρὰν τὴν παραλήγουσαν. ἢ οὖν ἴση ὀφείλει εἶναι ἡ παραλήγουσα τῆς γενικῆς τῇ ληγούσῃ τῆς εὐθείας, ἢ ἐλάττων, ὡς ἐπὶ τοῦ Αἴαντος, καὶ Χαρίεντος, καὶ λέων λέοντος, οὐδέποτε δὲ μείζων. ἐπεὶ οὖν τὸ Πηλεὺς καὶ τὰ ὅμοια εἶχον τὴν λήγουσαν μακράν, ἐποίησαν καὶ οἱ ἴωνες τὴν παραλήγουσαν μακρὰν τῆς γενικῆς, ἵν' ᾖ ἴση τῇ ληγούσῃ τῆς εὐθείας, μὴ οὔσης ἐντεῦθεν τοῦ κανόνος παραβάσεως. ἐπὶ δὲ τοῦ ἡδὺς οὐκ ἠδύναντο φέρειν τὴν γενικὴν τοῦ ἡδέος εἰς η. οὕτω γὰρ ἂν εὑρίσκετο μείζων ἡ παραλήγουσα τῆς γενικῆς τῆς ληγούσης τῆς εὐθείας, ἐπεὶ ὁ ἡδὺς βραχεῖαν ἔχει τὴν λήγουσαν καὶ ὀξύς, καὶ τὰ ὅμοια. τὰ δὲ εἰς σ λήγοντα μὲν δίχρονα, ἀποβολῇ τοῦ σ, τὸ οὐδέτερον ποιοῦντα, συνεσταλμένον ἔχει τὸ δίχρονον, ὁ μέγας τὸ μέγα, ὁ ἡδὺς τὸ ἡδύ. Τῆς θηλείας τὸ ι ἐξαιροῦσι, καὶ ἐπὶ πάσης πτώ-

σεως

σεως τοῦτο ποιοῦσιν. Ἡρόδ. τῶν θηλέων ἵππων μίαν τὴν ὁ Δαρεῖος ἐς τὰ μάλιστα ἔστεργε. καὶ πάλιν, ἐγχρίμπτων τῇ θηλέῃ. Τὸ μὴ ἐκφωνούμενον ι ἐκφωνεῖν εἰώθασιν. Ὅμηρ. ὑπερώϊον εἰσαναβᾶσα. καὶ, πατρώϊός ἐστιν ἑταῖρος. καὶ Ἡσίοδ. χρηΐζων ἀπεόντος. Αἱ προσθέσεις τοῦ ι ἐπὶ τοῦ ε ἐπιφερομένου φωνήεντος, ἢ ἐπὶ τῶν ἀμεταβόλων, Ἰώνων εἰσίν. οἷον ἕως εἵως, κεινὴ ἀντὶ τοῦ κενή, καὶ ξεῖνος ἀντὶ τοῦ ξένος.

Τὸ μεταλαμβάνειν τὴν οι δίφθογγον εἰς τὴν ες συλλαβὴν Ἰώνων ἐστίν. Ὅμηρ. ἐρίηρες ἑταῖροι, ἀντὶ τοῦ ἐρίηροι. ἐρυσάρματες ἵπποι, ἀντὶ τοῦ ἐρυσάρματοι. Αἱ ἐναλλαγαὶ τοῦ η εἰς α βραχὺ, Ἰώνων εἰσίν, μεμακυῖα, ἀντὶ τοῦ μεμηκυῖα, καὶ λελασμένος, ἀντὶ τοῦ λελησμένος, καὶ ἄλαστος, ἀντὶ τοῦ ἄληστος. εἰ δέ τις λέγει, πῶς περὶ μὲν τὸ α εἰς η τρέπουσιν, ὡς ἧρα ἥρη, τιτὰν τιτὴν, περὶ δὲ τὸ η εἰς α; ἴστω ὡς τὸ μὲν α εἰς η τρέπουσιν, ὅτε ἐστὶ τὸ α μακρόν· τὸ δὲ η εἰς α, οὐχ ἁπλῶς, ἀλλ' ὅτε ἐστὶ τὸ α βραχύ. αἱ δὲ ἐναλλαγαὶ τοῦ βραχέος α εἰς η, μεταγενεστέρων Ἰώνων εἰσίν. ὡς τάδε δὴ ἐς τὴν ἀληθείην ἤκουσιν.

Αἱ ἀφαιρέσεις τῶν κατ' ἀρχὴν συμφώνων, Ἰώνων εἰσίν. οἷον λείβειν εἴβειν, γαῖα αἶα, δεινὸς εἰνός. Αἱ τὴν ὧν συλλαβὴν παρέλκουσαν τιθέασι μεταξὺ τῶν προθέσεων, οἷον ἐξ ὧν ἕλῃ, καὶ ἀπ' ὧν ἔδοντο. Τὰ πρῶτα φωνήεντα στοιχεῖα τῶν λέξεων ἀφαιροῦσιν οἱ Ἴωνες, ἐκεῖνος κεῖνος, ἑορτὴ ὁρτή. Τὰ σύνθετα ῥήματα διαλύουσι, καὶ μεταξὺ τιθέασι τὰ ὀνόματα. οἷον, λέων κατὰ ταῦρον ἐδηδώς, ἀντὶ τοῦ κατεδηδώς. κατὰ δ' ἔκτανεν Ἠετίωνα, ἀντὶ τοῦ κατέκτεινε. Τὸ ἀναστρέφειν τὰς λέξεις, Ἰώνων ἐστὶν ἴδιον. οἷον, ὄρνιθες ὥς. καὶ, ᾧ ἔπι πόλλ' ἐμόγησα.

Καὶ τὰ ὑπερβατὰ Ἰώνων εἰσίν. οἷον, αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν, ἤγουν διέβησαν. Αἱ διαιρέσεις τῶν εἰς ως ληγόντων ἐπιρρημάτων τῶν ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν γινομένων, ἧς ἡ εὐθεῖα τῶν ἑνικῶν εἰς ης περατοῦται, καὶ εἰς ους ἔχει τὴν γενικὴν τῶν ἑνικῶν, Ἰώνων ἴδιαι. οἷον, εὐσεβὴς εὐσεβοῦς, ἡ γενικὴ τῶν πληθυντικῶν εὐσεβῶν, καὶ τροπῇ τοῦ ν

εἰς σ, εὐσεβῶς. ἀληθὴς ἀληθοῦς, ἡ γενικὴ τῶν πληθυντικῶν τοῦ ἀληθῶν, καὶ τροπῇ τοῦ ν εἰς σ ἀληθῶς, καὶ τ᾽ ἄλλα ὁμοίως. ταῦτα οὖν καὶ τὰ τοιαῦτα διαιροῦσιν οἱ Ἴωνες ὁμοίως τοῖς ὀνόμασι, ἀληθέως λέγοντες καὶ ἀτρεκέως καὶ εὐσεβέως. ἐπὶ μέντοι τῶν ὁσίων ὁσίως, καὶ δικαίων δικαίως, καὶ θαυμαστῶν θαυμαστῶς οὐκ ἔτι· τούτων γὰρ αἱ γενικαὶ οὐκ εἰς ους λήγουσιν, ἵνα ὦσι διηρημέναι καὶ κατὰ τὰ ὀνόματα καὶ τὰ ἐπιρρήματα. οἱ μὲν δωριεῖς, ὡς εἴρηται, ἐκτεινομένῳ χρῶνται τῷ α, τρέποντες τὸ η εἰς αὐτό. οἷον, ἥλιος ἅλιος, νῆσος νᾶσος, σελήνη σελάνα. οἱ δὲ Ἴωνες συστελλομένῳ χρῶνται αὐτῷ. καὶ ἁπλῶς εἰπεῖν, καὶ προσθέσει καὶ ἀφαιρέσει καὶ ἐπεκτάσει κέχρηνται, καὶ συγκοπῇ. ἔστι δὲ ἡ μὲν πρόσθεσις τῇ ἀφαιρέσει ἐναντία, ἡ δὲ ἐπέκτασις τῇ συγκοπῇ. καὶ πρόσθεσις μέν ἐστιν ὅταν ἐν τῇ πρώτῃ συλλαβῇ τοῦ ὀνόματος παραληφθῇ τι στοιχεῖον. οἷον ἕνεκα εἵνεκα, καὶ ἴλιον εἴσω ἀντὶ τοῦ ἔσω, μόνος μοῦνος, ὅλος οὖλος. ταῦτα δ᾽ ἐγὼ προσθέσεις οὐ λέγω, ἀλλὰ παρενθέσεις, ὡς καὶ ἐκεῖνα, ἔνατος εἴνατος, πνέοντες πνείοντες ὡς ὅμηρος. οἱ δ᾽ ἴσαν σιγῇ μένεα πνείοντες ἀχαιοί. καὶ, ἧμιν δ᾽ εἴνατός ἐστι περιτροπέων ἐνιαυτός. πρόσθεσις δὲ λέγεται, ὅταν ἐν ἀρχῇ τοῦ λόγου ἔξωθεν παραληφθῇ στοιχεῖον. οἷον, σταφὶς ἀσταφὶς, πᾶς ἅπας. ἔστι δὲ τοῦτο καὶ ἀττικόν. κἄν τε γοῦν πρόσθεσις, κἄν τε παρένθεσις, τῶν ἰώνων ἐστὶν, ἀλλὰ καὶ τὰ ἐναντία τούτοις. ἔστι δὲ ἐναντία μὲν, ὡς εἴρηται, ἡ πρόσθεσις τῇ ἀφαιρέσει, ἡ δὲ παρένθεσις τῇ ἐλλείψει. ἔστι δὲ ἀφαίρεσις ἡ κατ᾽ ἀρχὰς ἄρσις, ἐκεῖνος κεῖνος, ἐκεῖσε κεῖσε, ἑορτὴ ὀρτή. ἔλλειψις δὲ ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον, οὐ ποιοῦντος συλλαβήν. οἷον αἰμύξαι ἀμύξαι. ἔστι δὲ τοῦτο καὶ ἀττικόν. ταῦτα μὲν ἴδια ἰώνων εἰσὶν, ἥτε πρόσθεσις λέγω, καὶ ἡ ἔλλειψις, καὶ ἡ παρένθεσις, καὶ ἀφαίρεσις, καὶ ἔτι συγκοπὴ, ἥτις ἐστὶν ἐναντία τῇ ἐπεκτάσει.

ἔστι δὲ συγκοπὴ μὲν ἔνδεια μιᾶς συλλαβῆς κατὰ τὸ μέσον

τῆς λέξεως. οἷον, οἴμημα οἶμα, κακόμορος κάμμορος, ἐξαίρετος ἔξαιτος. παρέκτασις δέ ἐστι πλεονασμὸς μιᾶς συλλαβῆς κατὰ τὸ μέσον. οἷον, ἀδελφὸς ἀδελφεὸς, ἔτυμος, ἐτήτυμος. ἔστιν ὅτε γίνεται συγκοπὴ καὶ δύο συλλαβῶν, οἷον δευκαλιωνίδης, δευκαλίδης. ταύτῃ δὲ τῇ συγκοπῇ χρῶνται καὶ οἱ αἰολεῖς. χρῶνται δὲ καὶ ταῖς διαιρέσεσιν. ἤδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο. ἡ διαίρεσις δέ ἐστι τῇ συναλοιφῇ ἐναντία.

ἔστι δὲ συναλοιφὴ δύο φωνηέντων διῃρημένων εἰς μίαν συλλαβὴν ἕνωσις. οἷον τὸ ὄνομα τοὔνομα. καὶ ἔστιν ἴδιον τοῦτο τῶν ἀττικῶν. ἡ δὲ ἀναδίπλωσις, ὡς ἔφαμεν, ἰδία τῶν ἰώνων. οἷον λαχῶσι λελάχωσιν. ἀλλὰ καὶ ἡ ἄρσις αὐτῶν, βεβλημένος βλημένος. ἔστι δὲ ἡ ἀναδίπλωσις ἐναντία τῇ ἄρσει. πάλιν ἡ συστολὴ τῶν ἰώνων ἐστίν. οἷον, ῥόχθει δὲ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο. ἡ δὲ ἔκτασις. οἷον, τιθέμεναι, τιθήμεναι, ἀττικῶν. πάλιν ὁ λεγόμενος προσχηματισμὸς, πλεονασμὸς συλλαβῆς κατὰ τὸ τέλος. οἷον, θεοῖς θεοῖσι, σοφοῖς σοφοῖσι, μούσαις μούσαισιν. οὗτος δὲ ἐναντίος ἐστὶ τῇ ἀποκοπῇ. ἔστι δὲ αὕτη τῶν δωριέων, οἷον ἱδρῶτα, ἱδρῶ. ὅμηρος.

ἱδρῶ ἀπεψύχοντο. κυκεῶνα κυκεῶ. πάλιν ἡ παρέμπτωσις ἥτις ἐστὶν ἐναντία τῇ ἐκθλίψει, τῶν ἰώνων ἐστίν. οἷον, λεγόμεθα λεγόμεσθα. ἡ δὲ ἔκθλιψις μόνον τῶν δωριέων ἐστίν. οἷον, σκῆπτρον σκῆπτον. πάλιν τὸ διπλασιάζειν τῶν ἰώνων ἐστίν. ἤτοι ὁ διπλασιασμὸς, ὅς ἐστιν ἐναντίος τῇ παραλείψει. ἔστι δὲ ὁ διπλασιασμὸς, ὅταν ἕν τι τῶν συμφώνων τὸ αὐτὸ σύμφωνον προστεθῇ. οἷον, ὅτι ὅττι, ὅττι κεν εἴπω. ὅσον ὅσσον. ὅμηρος. τόσσον ἐχώσατο φοῖβος ἀπόλλων. παράλειψις δέ ἐστιν, ὅταν ἕν τι τῶν διπλασιαζομένων συμφώνων παραλίπηται. οἷον, κάλλιον, κάλιον, καὶ ἔστι τῶν δωριέων. ἔστι δὲ τῶν ἰώνων ἴδιον καὶ τὸ ἀποβάλλειν τῆς ει διφθόγγου τὸ ι. οἷον, μείζων μέζων, κρείσσων, κρέσσων. ἔστι δὲ τοῦτο ἔλλειψις, ἥ

τίς ἐστιν, ὡς προείρηται, ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον·
διόν ἐστι καὶ τὸ αἰμύξαι ἀμύξαι. οὕτοι καὶ τὸ ἐπεὰν ἐπεὰν λέ-
γουσιν. Ἡρόδοτος. ἐπεὰν ἐκβῇ ἐς τὴν γῆν ἐκ τοῦ ὕδατος
ὁ κροκόδειλος. ὁμοίως δὲ τὸ ἐνταῦθα, ἐνθαῦτα φασὶν ἀπηλ-
λαγμένως. Ἡρόδοτος. ἐνθαῦτα ὁ τροχίλος ἐσδύνων, ὡς ἀντὶ
τοῦ ἔνθα. ζωὴν λέγουσι καὶ τὴν ζῶσαν γυναῖκα, ὡς ἀντὶ τοῦ
ζωός. τὸ λίαν κάρτα λέγουσι. τὸ μέγεθος μέγαθος λέ-
γουσιν. Ἡρόδοτος ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν, πρόσωπον δὲ ἐς τὰ
μάλιστα ἐπίγρυπον μέγαθος ὅσον κρέξ. τὸ ε καὶ ο εἰς τὴν
ου δίφθογγον κιρνᾶται παρ' αὐτοῖς. Ἡρόδοτος. ἐς τοῦτον ὁ-
ρέων πῖνε τε καὶ τέρπευ, ἔσεαι γὰρ ἀποθανὼν τοιοῦτος. καὶ
πλεῦνας τοὺς πλείονας. μετὰ τὴν Ἑλένης ἁρπαγὴν Ἑλλήνων
στρατιὰν πολλὴν βοηθοῦσαν Μενελάῳ. τὸ σφίσι σφὶν λέ-
γουσι. τὸν μὴ ἀπαγορευτικὸν σύνδεσμον ἀντὶ τοῦ μὴ οὐ
παραπληρωματικοῦ λαμβάνουσιν, ὡς παρ' Ἡροδότῳ. μὴ
ἔχειν ἐλάσσω. τὸ ἕως οὗ, ἐς ὃ λέγουσιν. Ἡρόδοτος. ἐς ὃ ἐξεῖ-
λον δὲ πάλιν. αὖτις αἰεὶ λέγουσι, καὶ οὐκ αὖθις.
τοῦ ἐπιτήδειος τὸ ι ὑπεξαιροῦσιν, καὶ ἐπιτήδεος λέ-
γουσιν. Ἡρόδοτος. ἵνα πυνθάνοιτο ἐν ἡβητηρίᾳ ἐπιτηδεότης.
Ἡ κρᾶσις τοῦ ι καὶ ε εἰς ι μακρὸν τῶν Ἰώνων ἐστίν. ἱεροὺς
ἱροὺς, ἱέραξ ἵραξ. καὶ τροπὴ τοῦ α εἰς η, ἵρηξ καὶ τὴν αὐτὴν
διάλεκτον. Ἡσίοδος. ὧδ' ἵρηξ προσέειπεν ἀηδόνα ποι-
κιλόδειρον. καὶ ὄφελον ὄφελες ἰωνικόν. τὸ τέμνειν τάμνειν
λέγουσιν. Ἡρόδοτος ἐν δευτέρᾳ, τοὺς ἱρέας τοὺς ἐν Αἰγύπτῳ
συλλέξαντας πάντας μέσους διατάμνων. καὶ Ἱπποκράτης,
φλέβα ταμνεῖν. τοῦ ἐνέγκω ἀφαιροῦνται τὸ γ, καὶ ἀντ'
αὐτοῦ ἐπιτιθέμενοι τὸ ι, ἐνεῖκαι λέγουσιν. Ἡρόδοτος μνειαζῶ
ρύτῳ χρῆται. τὸ ἐκπλεύσας ἐκπλώσας λέγουσιν. Ἡρό-
δοτος, κατὰ λήϊον ἐκπλωσάντων.
τὸ σφεῖς σφᾶς καὶ σφῶν διαιροῦσι, καὶ οὕτω προφέρουσι, σφέ-

ες καὶ

ων καὶ σφέας καὶ σφέων. ὅμηρος. ἀλλά σφεας κρατερὸς διομήδης ἐξενάριξε. τὸν νοῦν καὶ τὸν ῥοῦν καὶ τὴν χροῦν διαλύουσι, νόον καὶ ῥόον καὶ χρόα λέγοντες. ὅμηρος. τὰ μεσσίχροα χαλκόν. ἡρόδοτος. οἱ οὐκ ἤδη νόος γέγονέ σοι πω. τῇ εἶπον οὐ χρῶνται μετοχῇ, ἀλλὰ τῇ εἴπας. εἰρώτα διὰ διφθόγγου γράφουσι, καὶ οἶμαι διὰ τοῦτο, ἐπεὶ συναρχομένους ποιοῦσι τοὺς παρωχημένους τοῖς ἰδίοις ἐνεστῶσιν. ἔστι γὰρ παρ᾽ αὐτοῖς ὁ παρατατικὸς, ἠρώτα, εἶτα ἐπενθέσει τοῦ ι γίνεται εἰρώτα. οὕτω καὶ τὸ ἐπανείρετο παρ᾽ αὐτοῖς διὰ τῆς ει διφθόγγου γραφόμενον. ἢ ἀπὸ τοῦ θέματος προσλαμβάνει τὴν ει δίφθογγον. ἔστι γὰρ τὸ ἐρωτῶ καὶ ἔρω, καὶ γίνεται παρενθέσει τοῦ ι εἴρω, εἴρομαι, εἰρόμην, εἴρου, εἴρετο. ἔτι οἱ ἴωνες τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τῶν παθητικῶν παρακειμένων οὕτω ποιοῦσιν ἐν τοῖς τρίτοις προσώποις τῶν ἑνικῶν, τοῖς ἔχουσι πρὸ τοῦ τ ψιλόν. φέρουσι τὸ ψιλὸν εἰς τὸ ἀντίστοιχον δασὺ, καὶ ποιοῦσι προσθήκην τοῦ α, νένιπται νενίφαται, λέλεκται λελέχαται. εἰ μέντοι εἴη τὸ κοινὸν διὰ τοῦ ς βαρύτονον, τότε καὶ τὸ ἰωνικὸν ἔχει πρὸ τοῦ αται τὸ χαρακτηριστικὸν τοῦ μέσου παρακειμένου, πέφασται πεφάδαται, ὅτι πέφαδα. εἰ μέντοι ἀπὸ περισπωμένων φύσει μακρὰ παραληγομένων, ταύτην συστέλλουσι πρὸ τοῦ αται εἰς τὴν ὀφειλομένην συστολήν. πεποίηται, πεποιέαται. ἔτι στοιχοῦσιν ἴωνες ἤδη τῶν εἰς δου ληγόντων πατρωνυμικῶν ταῖς ἐπεκτάσεσι, πληϊάδου λέγοντες καὶ λαερτιάδου. ὤφειλε γὰρ εἶναι ἡ κοινὴ λαερτίδου. ἐπεὶ τὰ εἰς δης πατρωνυμικὰ μιᾷ συλλαβῇ ὑπεραίρουσι τῆς κοινῆς τοῦ πρωτοτύπου. οἷον, πηλέως πηλείδου, πριάμου πριαμίδου, οὕτω καὶ λαέρτου λαερτίδου. ὤφειλεν εἶναι τὸ πατρωνυμικὸν, ἀλλ᾽ οἱ ἴωνες ποιοῦσιν ἐπέκτασιν, καὶ οὕτω προφέρουσιν, λαερτιάδης λέγοντες, πηλεϊάδης, εἶτα κατ᾽ ἐπέκτασιν ἀττικὴν πηληϊάδης.

χρῶνται δὲ καὶ ταῖς μεταθέσεσιν. ἔστι δὲ μετάθεσις, ὅταν ἢ τὸ πρῶτον στοιχεῖον τῆς ἰδίας γίνεται συλλαβῆς δεύτερον, οἷον ἀτραπητὸς ἀταρπητός. ἐκ τοῦ γὰρ τρέπεσθαι γέγονε, ἐκ τοῦ α στερητικοῦ μορίου. καὶ ἔστιν ἡ εὐθεῖα ἡ ἀτραπητὸς, ἤγουν ἡ ὁδός. εἶτα γέγονε μετάθεσις τοῦ στοιχείου, καὶ λέγεται ἀταρπητός. ἢ τὸ δεύτερον πρότερον, οἷον κραδία καρδία, καρτερὸς κρατερὸς, τέταρτον τέτρατον. ὅμηρος. τέτρατον ἦμαρ ἔην καὶ τῷ τετέλεστο ἅπαντα. ἰστέον δὲ ὡς διαφέρει μετάθεσις ὑπερθέσεως. ἡ μὲν γὰρ μετάθεσις ἐν τῇ αὐτῇ συλλαβῇ γίνεται· ἡ δὲ ὑπέρθεσις ἐν ὑστέρᾳ, ὡς τὸ ὀθνεῖος, τὸ γὰρ νόθος νοθεῖος, καὶ καθ' ὑπέρθεσιν, ὀθνεῖος. καὶ πάλιν γόνυ γόνυος, καὶ δόρυ δόρυος, καὶ καθ' ὑπέρθεσιν, γουνὸς καὶ δουρός. χρῶνται δὲ καὶ τούτῳ τῷ πάθει οἱ ἴωνες. εἰδέναι δὲ χρὴ ὡς ἡ μὲν ἀρχαία ἰὰς μετέπεσε περὶ τὴν τῶν κατοικούντων περιτροπήν, καὶ διέμεινεν ἕως ἐκείνου τοῦ καιροῦ ἐφ' ᾧ ἐποίησαν οἱ ἴωνες τὰς ἀποικίας, καὶ διεσπάρησαν εἰς τόπους πλείονας. λέγεται δὲ παρ' αὐτοῖς τὸ μὲν ὑγιαίνειν οὐλεῖν, ὅθεν καὶ τὰ ὑγιῆ τῶν φαρμάκων οὐλὰς λέγομεν. ὁ δὲ λόγος μῦθος. καὶ τὸ μαντεύεσθαι ἀνελεῖν. καὶ τοὺς τόπους ἐν οἷς ἀνεστρέφοντο, ἤθη. καὶ τὸ ἐπιμελὲς ἀνακῶς. ἀντὶ τοῦ ξενίαν ἐδωρήσατο, ξεινίης συνεθήκατο. καὶ τὸ ἀπατηλοῦς ἢ ἐπιμελοῦς ἐπιστρεφέως. καὶ τὸ ἠχούσης ἐχούσης. καὶ τὸ θυμωθεὶς καὶ ταραχθεὶς, περχθείς. καὶ ὁ ἔποικος ἐφέσιος. καὶ ὁ δυσφορῶν ἠμεκτέων. καὶ ἀντὶ τοῦ ἕτεροι δὲ μετεξέτεροι λέγουσιν. καὶ ἀντὶ τοῦ ἡσυχάζων, ἐλινύων.

Λέγουσι δὲ καὶ τοὺς κατὰ δήμους καὶ ἀριθμὸν τῶν τριάκοντα ἀνδρῶν, δεῖπνα. καὶ τὸν διανοηθέντα ἐννοήσαντα. καὶ τὸ ἀνέπεισεν ἢ ἐδίδαξεν, ἀνέγνωσε. καὶ τὰς βαφὰς, φάρμακα. καὶ τὰ ἀναλώματα, τέλη. καὶ λαύρας λέγουσι τὰς ῥύμας τὰς ἀμφόδους. σαγάρεις δὲ τοὺς πελέκεις ἢ τὰ ἐκ χειρὸς ὅπλα. ἄρδεις τὰς φαρέτρας.

φάλαρα

φάλαρα τὰ περὶ τὰς γνάθους σκεπάσματα. ψιῶας δὲ τὰ
ἐν τοῖς ὀλιύνθοις γινόμενα ζωύφια. Σχοινοτενὲς τὸ μακρὸν
καὶ ὀρθόν. Συμψήσας δὲ λαμβάνουσιν ἀντὶ τοῦ συντρίψας.
Αἱμασιαὶ δὲ τὸ ἐκ χαλίκων ᾠκοδομημένον, καὶ ἄνευ πη-
λοῦ τειχίον. φάρσος δὲ κλάσμα. τὸ τρύφος τὸ ἀκρωτήρι-
ον. καὶ ταρσοὺς δὲ καλάμων τὰς πλαισίας οὗ ἐξήραινον τὴν
πλίνθον. ἔμβολον δὲ τὸ χάλκωμα τὸ προστιθέμενον κατὰ
πρῶραν ταῖς ναυσίν. ἐναγίζειν δὲ τὸ χοὰς ἐπιφέρειν, ἢ θύ-
ειν τοῖς κατοιχομένοις. πρόχνησιν δὲ τὸ ἀπωσεῖσθαι. ἐπιπολα-
στὴν μὴ βαθεῖαν κτῆσιν, ἀλλ' ἐξ ἐπιπολῆς. λευκὴν δὲ καλοῦ-
σι πάθος τι περὶ ὅλον τὸ σῶμα. κνυζήματα δὲ τὰ γοερὰ ἀ-
ποφθέγματα. γεωπείνας δὲ τοὺς ἐπὶ γῆς πεινῶντας καὶ ἀπο-
ρουμένους. τὸ δὲ ἱκανώσας ἀπώσας, ὡς καὶ Ἡρόδοτος ἐν τῇ
δευτέρᾳ. τὸ δὲ μέτριον καὶ καλῶς ἔχον, ἐπιεικέστατος.
τὸ δὲ ἀποδεχόμενοι κάμπτοντές φασι. κορώνην δὲ λέγουσι τὴν
ἐπικαμπές τι ξύλον. δυμαρέην δὲ τὴν ἀφρόπατον. τά δὲ
ὁπλώμενα πλεόμενα. βάρεις δὲ τὰς ναῦς. ὅσιειν δὲ κα-
λοῦσι τὸν Διόνυσον. τὰς δὲ ἀλύσεις ἀφελέας, οἱ δὲ τὰ ψέλ-
λια. τὸ δὲ ἐκκαθαίρειν πόμα ἐκ ζειῶν καὶ ὕδατος, συλμαΐζειν.
Λῖνον δὲ ᾠδῆς ὄνομα ἢ λύρας χορδήν. φυστάνους δὲ τοὺς
κροσσούς. ἀποφορὰν δὲ τὴν τελουμένην παρὰ τῶν δούλων τοῖς
δεσπόταις. λύσιν δὲ τὴν πορείαν καὶ ἔφοδον. Συρνέη δὲ
παρ' αὐτοῖς ὀνομάζεται λάχανόν τι σελίνῳ ἐοικὸς, ἢ βρῶμα
διὰ στέατος καὶ μέλιτος. ἐνηβητήρια δὲ τὰ εὐωχητήρια.
τριφάσιοι δὲ παρ' αὐτοῖς λέγονται οἱ τριπλάσιοι τρίφωνοι.
Ἀπεμάταισε δὲ τὸ ἐμώρανε σημαίνει παρ' αὐτοῖς. Ἀπο-
τιμοτέρους δὲ τοὺς ἀτιμοτέρους λέγουσιν. Ἀφηλικέστερον δὲ τὸν
πρεσβύτερον. τὸν δὲ φανερὸν, ἐπάϊστον. φρενήρη δὲ τὸν σώ-
φρονα. λαμβάνουσι δὲ τοῦτο καὶ ἐπὶ τοῦ ἐναντίου. καταπρο-
ΐξεσθαι δὲ λέγουσι τὸ πρόικα ποιῆσαι. καὶ τὸν καταφανῆ ἐπί-

λαμπρόν. λάξιν δὲ τὸν μερισμὸν ἢ τὸν κλῆρον. τὸν καταπεπονημένον τετρυχωμένον λέγουσι. τὸ πολεμεῖν ἀντιάειν λέγουσι. τὰ αἰδοῖα μέζεα. Ἡσίοδος. οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο. τὸ καταπυχθεὶς ἢ γελασθεὶς διαβεβλημένος λέγουσιν. Ἡρόδοτος. ὦ βασιλεῦ διαβεβλημένος ὑπὸ Ἀμάσιος, οὐ μανθάνεις. τὸ καλλωπίσας ἀσκήσας λέγουσιν. ὅς ἐμέ σοι κόσμῳ ἀσκήσας ἀπέπεμψεν ὡς ἑαυτοῦ θυγατέρα. ἐνάρειοι οἱ ὁπλῖται ὀνομάζονται παρ' αὐτοῖς. Διασφάγες δὲ αἱ διεστῶσαι πέτραι. γνωσιμαχεῖν δὲ, τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν, τήν τε τῶν ἐναντίων ἰσχύν. Σισύρα δὲ βαρβαρικὸς χιτών. ὑβρίζειν τὸ σκιρτᾶν. Σιγύνη δὲ τὸ τῶν ῥυπαρῶν προβάτων ἔριον, καὶ τὸ ἀποχώρημα τοῦ προβάτου. Νεοχμῶσαι δὲ τὸ νεωστὶ κινῆσαί τι. φορέγγυος ὁ βεβαιωτής. ἔφεδρος ὁ ἐπίκληρος. ἐγκατοικεῖν, τὸ διοικεῖν. τετραπτελυρίδες λέγονται παρὰ Ἴωσιν αἱ ἀκρίδες, παρὰ τὸ τέσσαρα ἔχειν πτερά, δύο μὲν ἔξω μείζω, ἐλάσσω δὲ ἔντοσθεν ἕτερα δύο. τὸ οὐχ ἱκνεομένως ἀντὶ τοῦ προσηκόντως, οὐ καθηκόντως παρ' αὐτοῖς λαμβάνεται. τὸ ἀνυπλίξας, ἀντὶ τοῦ ἀπέφυγε. πλὶξ γὰρ τὸ βῆμα, ἐξ οὗ πλίγματα τὰ πηδήματα. ἔνθα καὶ τὸ περιβάδην ἀμφιπλίξ, παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ, καὶ Ὅμηρος. αἱ δ' εὖ μὲν τρέχον, εὖ δ' ἐπλίσσοντο πόδεσσιν. καὶ τὸ ψῶσαν, ἀντὶ τοῦ θάλπουσαν. ἔστι δὲ παρ' αὐτοῖς καὶ τὸ ψῶ ἀγροικικὸν πρόσφωνημα. κόλλιξ δὲ ἐστὶν εἶδος ἄρτου πολυφόρους, ἐξ οὗ καὶ τὰ παρ' ἡμῖν κολλίκια. χοινῶν δὲ συμβολεῖς οἱ ψαθοπλόκοι. καὶ ἰθαγενεῖς οἱ γνήσιοι παῖδες. πρόξενοι δὲ οἱ προστάται τῶν πόλεων, καὶ οἱ φροντισταὶ καὶ ξενίας ὑποδεχόμενοι. Σπαργᾷ δὲ τὸ ὀρέγεται καὶ ἐπιθυμεῖ. Κορδινῆμαι δὲ τὸ καρηβαρεῖν παρ' αὐτοῖς. γράφεται δὲ καὶ σκορδινῆμαι. ἴξις δὲ ἡ εὐθυωρία. ῥοικὸν δὲ τὸ εἴσω νεῦον καὶ στραβόν, ὃ καὶ ῥοιβὸν λέγεται. Σαπρὸν δὲ τὸ σεσηπός.

ρος. τὸ δὲ ἀντιπάσω παλιύω φασί. τὰ δὲ πρόσφατα ποταίνια. βλακὸν δὲ τὸν τρυφερόν. τοὺς δὲ φυγανώδεις ἄνθρακας μαρίλλους. μάλη δὲ ἡ θέρμη. ἡ σποδιὰ δὲ μαρίλη λέγεται. μελεδανθέων δέ, ἀντὶ τοῦ μεριμνῶν θεραπειῶν. μελεδαίνειν γὰρ λέγεται τὸ μεριμνᾶν. μισύλλιον τὸν κοῖλον ἄρτον λέγουσι. καὶ τὸ μυδῶσα ἐκρέουσα. καὶ τὸν δημόσιον ἀντὶ δήμιον. καὶ τὸ ἐκθλίβειν βλιμάζειν. καὶ τὸ ἐστέναξεν ἔμυξε. καὶ τὰ τὴν κάτω κοιλίαν καθαίροντα φάρμακα, ἐλατήρια. τὸ συνέδησεν συνεκρίκωσε. τὸ εἰς δύο διαιρεθῆναι, ἐδιχώθη φασί. καὶ ἡ εὐθυώτης εὐθυωρεία. καὶ τὸ ἐτυλώθη ἐμυλώθη. τὸ ἐγχρίπτει ἐμπηδᾷ. τὸ ἐκτόπως καὶ παραδόξως, ἐκτοπίως. τὸ εὐφορώτερον ἀντὶ εὐοχώτερον, τὸν μύλωνα ζώπειον, τὸ ὡμοιωμένον δελφυωμένον φασί, ὡς καὶ τὸν πυρετὸν θερμωλήν, καὶ θαλάμας τὰς καταδύσεις, καὶ θρίσσειν τὸ κατὰ ψυχὴν βιάζεσθαι, ἢ τὸ μαίνεσθαι.

ΤΕΛΟΣ.

SORBONNE

